# TEZAUR LITURGIC

## 13 IULIE

# SLUJBA

## SF.CUVIOŞI-MUCENICI ILIOFOT,EPAFRODIT, AMMON,HULELEU ŞI EUSTENIE DE LA KORONI-CIPRU

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 13 Ἰουλίου

# Ἀκολουθία Ἁγίων ΗΛΙΟΦΩΤΩΝ τῶν εν Κύπρῳ : ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΗΛΙΟΦΩΤΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤῼ ΟΣΙΟΜΑΡΤΥΡΩΝ ΑΜΜΩΝΙΟΥ, ΧΟΥΛΕΛΑΙΟΥ, ΕΥΣΘΕΝΙΟΥ ΚΑΙ ΕΠΑΦΡΟΔΙΤΟΥ

## ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια, δευτεροῦντες αὐτά. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὸ πενтάριθμον σύνταγμα, τῶν Μαρτύρων ὑμνήσωμεν, θεῖον Ἡλιόφωτον καὶ Ἀμμώνιον, Χουλέλαιον καὶ Εὐσθένιον, καὶ τὸν Ἐπαφρόδιτον, τοὺς γενναίους ἀθλητάς, καὶ θερμοὺς ἀντιλήπτορας, τοὺς πηγάζοντας, ἰαμάτων τὴν χάριν καὶ τοῖς πᾶσι, νοσημάτων θεραπείαν, τοῖς εὐσεβέσι παρέχοντας.

Οἱ τρυφῆς ἀπολαύοντες, καὶ φωτὸς ἐμφορούμενοι, καὶ ζωὴν αἰώνιον κληρωσάμενοι, τοὺς πρὸς ὑμᾶς καταφεύγοντας, κινδύνων λυτρώσασθε, καὶ δεσμῶν καὶ φυλακῆς, τῆς ἐν τόπῳ κακώσεως, τῇ θεόφρονι, πρὸς Θεὸν παῤῥησίαν κεχρημένοι, καὶ συμπάθειαν δεικνύντες, τὴν ἀληθῶς χριστομίμητον.

Ὁ στεῤῥὸς Ἡλιόφωτος, ὁ κλεινὸς Ἐπαφρόδιτος, ὁ θεῖος Χουλέλαιος, καὶ Εὐσθένιος, σὺν Ἀμμωνίῳ

ἠρίστευσαν, ἐχθροὺς τροπωσάμενοι, καὶ ἐκλάμψαντες σαφῶς, ὡς ἀστέρες πολύφωτοι, κατεφαίδρυναν, τῶν πιστῶν τὰς καρδίας, καὶ τῆς πλάνης ἀπεδίωξαν τὸ σκότος, τῇ φωταυγείᾳ τοῦ Πνεύματος.

Δόξα. Ἦχος πλ. β΄.

Δεῦτε φιλομάρτυρες, τοὺς τοῦ Χριστοῦ ἀθλοφόρους, ἐν ὕμνοις τιμήσωμεν, Ἡλιόφωτον τὸν ἀήττητον Μάρτυρα, Ἐπαφρόδιτον καὶ Ἀμμώνιον, καὶ Χουλέλαιον καὶ Εὐσθένιον, τὴν πενταυγῆ τῶν Μαρτύρων χορείαν· ὡς καλῶς ἀγωνισάμενοι κατὰ τοῦ ἀοράτου ἐχθροῦ, καὶ βραβεῖα τῆς νίκης ἀναδησάμενοι, πρεσβεύουσι Χριστῷ ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (μγ´ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς,τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι.Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός,καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ´ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι,καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν,καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν,συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε΄15-23,στ΄1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους

δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.

Τὴν πεντάριθμον χορείαν τῶν Ἁγίων εὐφημήσωμεν λαοί, τὸν Σωτῆρα ἀνυμνοῦντες Χριστόν· Ἡλιόφωτον τὸν καρτερόψυχον καὶ στεῤῥὸν Ἀθλοφόρον, σὺν αὐτῷ Ἐπαφρόδιτον, Ἀμμώνιον, Χουλέλαιον καὶ Εὐσθένιον. Οὗτοι γὰρ ὑπὲρ τῆς πίστεως ἀθλήσαντες, τὰς τρικυμίας κατεπάτησαν ἐχθρῶν, καὶ τῷ Σωτῆρι πρεσβεύουσιν ἱλασμὸν καὶ ἄφεσιν ἁμαρτιῶν, δωρηθῆναι τοῖς ἐν πίστει ἐκτελοῦσι, τὴν ἱερὰν αὐτῶν ἄθλησιν.

Ὁ αὐτός.

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Ἡλιόφωτον τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοί, ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. Οὗτος γὰρ τὸν πρὸς ἐχθροὺς ἀοράτους πόλεμον ὑπελθών, καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο· καὶ νῦν ἐν οὐρανοῖς μετ᾽ Ἀγγέλων χορεύων, τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄.

Τὴν πεντάχορδον λύραν, καὶ πεντάφωτον λυχνίαν, τῆς τοῦ Θεοῦ Ἐκκλησίας, τοὺς θεοφόρους Μάρτυρας,

φερωνύμως ὑμνήσωμεν, καὶ εὐσεβῶς ἐγκωμιάσωμεν. Χαίροις, ὁ καλῶς ὑπὸ Θεοῦ ἐκλάμψας, ὑπὲρ ἡλίου αὐγάς, ὁ θύτης καὶ Μάρτυς, Ἡλιόφωτε θεόσοφε· χαίροις, ὁ τοῦ δολίου ἐχθροῦ, τὰς μηχανὰς ἁπάσας τελείως ἀποτεφρώσας, Ἐπαφρόδιτε μακάριε· χαίροις, ὁ τερπνότατος ὄρπηξ, ὁ θαυματουργῶν ὑπὲρ ἄμμον θαλάσσης, Ἀμμώνιε θεόφρον· χαίροις, ὁ ὡραῖος τῇ μορφῇ, τῇ δὲ γνώμῃ, ὑπέρκαλος καὶ ἀμφοτεροδέξιος, ἐν τοῖς ὄρεσιν ἐνδιαιτώμενος ὅλως, ὁ τοῦ δολίου βελίαρ τὰς παγίδας συντρίψας καὶ χαλάσας, πανόλβιε Χουλέλαιε· χαίροις, ὁ στίλβων καὶ διαυγὴς μαργαρίτης, ὁ τὸ εὐσθενές σου στηρίξας πρὸς τὸν Χριστόν, καὶ δι᾽ Αὐτὸν βασάνους πικρὰς χαρμονικῶς ὑπομείνας, Εὐσθένιε ἀήττητε· χαίροις, ὁ ἰσάριθμος χορός, τῶν φρονίμων παρθένων, οὓς καθικετεύομεν, πάσης ὀργῆς καὶ θλίψεως λυτρώσασθαι, καὶ τῆς ἀφράστου ἡμῶν δόξης, συμμετόχους ποιῆσαι, τοὺς τὴν ἐτήσιον ὑμῶν μνήμην γεραίροντας.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Αἱμάτων τιμίων σου βαφαῖς, Μάρτυς κατεσκεύασας, σαυτῷ πορφύραν πολύτιμον, ἣν στολισάμενος, κατοικεῖς τὰ ἄνω, ἀληθῶς βασίλεια, Θεῷ Παμβασιλεῖ

παριστάμενος, Ὃν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ἡλιοφώτῳ συναθλεῖ ὁμοῦ, Ἀμμώνιος, Ἐπαφρόδιτος, Χουλέλαιος καὶ Εὐσθένιος, καθυπομείναντες, τρικυμίαν πόνων, καὶ νῦν κατεσκήνωσαν, πρὸς ἄπονον καὶ θείαν κατάπαυσιν, ἐν ᾗ πρεσβεύουσι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἀήττητοι Μάρτυρες τῇ γῇ, τὰ τῆς γῆς ἐάσαντες, πρὸς οὐρανοὺς ἀνεδράμετε, ὑμῶν τοῖς στίγμασι, καθωραϊσμένοι, καὶ σεπτοῖς παθήμασι, λαμπρῶς πεποικιλμένοι μακάριοι, διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄.

Ἀλαμανίας ἄνθη τὰ τερπνότατα, οἱ ἐν πολέμοις καὶ στρατείᾳ διαπρέψαντες Μεγαλομάρτυρες, οἱ διὰ Χριστὸν Κύπρον οἰκήσαντες, καὶ Ἀχαιράδος μέγιστοι φρουροί, ὑπ᾽ Αὐτοῦ προχειρισθέντες, συγκαλοῦνται νῦν ἡμᾶς πρὸς ἑστίασιν πνευματικήν. Δεῦτε οὖν φιλέορτοι, ἐντρυφήσωμεν τῶν τερατουργημάτων αὐτῶν, οὓς καὶ πρὸς Κύριον πρεσβείαις ληψώμεθα, ἵνα δι᾽ αὐτῶν τυχώμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσει Σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· Σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, Σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν,τῶν Σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος β΄.

Ἀλαμανίας τοὺς γενναίους Μάρτυρας, τοὺς τὰ τῆς γῆς καταλιπόντας ἅπαντα, συνελθόντες εὐφημήσωμεν ἀστέρας ὡς φαιδρούς, Ἡλιόφωτον Ἐπαφρόδιτον, Ἀμμώνιον καὶ Χουλέλαιον ὁμοῦ, σὺν τούτοις καὶ Εὐσθένιον καταστέψωμεν, χορείαν τιμῶντες τὴν πεντάριθμον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα,τὰ Σὰ Θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν· Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

# ΟΡΘΡΟΣ

Μετὰ τὴ α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Τῆς Κύπρου οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στεῤῥῶς, ἐτροπώσαντο πίστει, τὸ ὄφιν τὸν ἀρχέκακον, καὶ νομίμως ἐστέφθησαν· τούτων σήμερον, τὴν ἀξιέπαινον μνήμην ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους Σου.

Μετὰ τὴ β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Εὐσεβείας θυρεῷ, περισκεπόμενοι καλῶς, καὶ τὸ ὅπλον τοῦ Σταυροῦ, ἀναλαβόμενοι στεῤῥῶς, τὰς παρατάξεις κατέβαλον τοῦ τυράννου, Μάρτυρες Χριστοῦ οἱ ἀξιάγαστοι, καὶ στέφος παρ’ Αὐτοῦ ἀναδησάμενοι, νικητικῶς χορεύουσιν ἀπαύστως, μετὰ τῶν ἄνω Δυνάμεων, καὶ τὸν Σωτῆρα ἐκδυσωποῦσι, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει Σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον,

ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεύσιν ἐκραύγαζε· παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐδεσμεύθης τῷ πόθῳ τῷ τοῦ Χριστοῦ, καὶ στρατόν τε καὶ πλοῦτον καταλιπών, τῆς ἐνεγκαμένης σε μετανάστης γενόμενος, καὶ πρὸς Κύπρον ἔφθασας, ἐρήμοις καὶ ὄρεσι, φυγαδεύων ὥσπερ σεαυτὸν ἀπεμάκρυνας, ὅθεν Ἀχαιράδος οἱ χοροὶ συνελθόντες, ἐν ὕμνοις γεραίρουσι τὴν σεπτήν σου πανήγυριν, Ἡλιόφωτε ἔνδοξε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὁ τῶν ὅλων Δεσπότης, καὶ Ποιητής, ἐξ ἀχράντου Σου μήτρας, σάρκα λαβών, προστάτιν Σε ἔδειξε,τῶν ἀνθρώπων Πανάμωμε· διὰ τοῦτο πάντες, πρὸς Σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεόμεθα, ἵνα πίστει βοῶμέν Σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ δοθῆναι πᾶσι Κόρη ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ Σου.

Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον (Κεφ. ιγ΄ 9-13). Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς...

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Θεία χάρις ἀπηώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων ὑμῶν, Ὁσιομάρτυρες ἔνδοξοι. Διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων ὑμῶν δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι· ἀλλὰ γενναῖοι Ἀθληταί, Χριστὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τῶν Ἁγίων.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἄνω πρὸς μόνον τὸν φύσει πέλοντα ἕνα Θεὸν τοῦ παντός, ἠτενικῶς ὄμμα, τὸ τῆς διανοίας μου, κἀκεῖθεν ἐξαιτούμενος, λύσιν τῶν ἐγκλημάτων, καὶ φωτισμόν μοι δωρήσασθαι, μέλψαι Ἡλιοφώτου πανήγυριν.

Μόνον Χριστὸν ἐπιποθῶν Ἐπαφρόδιτε, Οὗ τὸν ζυγὸν τὸν χρηστόν, ἀναλαβῶν μάκαρ, ἀκλινῶς διώδευσας, καὶ νουνεχῶς διήνυσας, τὴν στενὴν ὄντως τρίβον, πρὸς πλατυσμὸν δέ σε φέρουσαν, εἰς τὰ τῶν Ἁγίων σκηνώματα.

Ἀνακαθάρας διανοίας ὄμματα, τοῖς ἐπαγρύπνοις εὐχαῖς, καὶ τὴν ἰλὺν πᾶσαν ἀποτιναξάμενος, τῶν

κοσμικῶν συγχύσεων, καὶ στρατείαν καὶ πλοῦτον, Ἀμμώνιε καταλέλοιπας, καὶ Χριστοῦ κατ᾽ ἴχνος ἐβάδισας.

Θεοτοκίον.

Ξενίζει πᾶσαν ἀκοὴν καὶ ἔννοιαν, καὶ λογισμὸν ἐξιστᾷ, τὸ τῆς Ἁγνῆς θεῖον, καὶ φρικτὸν μυστήριον· ἐπεὶ γὰρ ὡς ἐδέξατο τὴν φωνὴν τοῦ Ἀγγέλου, δίχα σπορᾶς ἀπεκύησεν, Λόγον τοῦ Πατρὸς τὸν ἀΐδιον.

ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὁ συναθροίσας νῦν ἡμᾶς Ἀμμώνιος, ἐν Κορώνῃ τῇ μεγίστῃ, πρὸς φαιδρὰν πανδαισίαν, ἐν τῇ μνήμῃ τῇ αὐτοῦ, δοξολογοῦντες Κύριον, τὸν θαυμαστὸν Ἁγίοις, ἐν γῇ τοῖς Τοῦτον δοξάσασι.

Σὺν τοῖς προβάτοις καὶ ἡμεῖς, ἐλθόντες ἐν τῇ Κορώνῃ, τῶν Κυπρίων οἱ χοροὶ συνηρμένοι, λιτανεύοντες θερμῶς τὸν θεῖον Ἐπαφρόδιτον, ὅπως πρεσβείαις τούτου, ῥυσθείημεν τῶν κολάσεων.

Φωτὶ τὸ θείῳ παρεστώς, ὡς ἔχων νῦν παῤῥησίαν, καὶ πρὸς πρόσωπον ὁρᾷς τὴν Τριάδα, Ἣν καὶ μέλπεις ἐκβοῶν· Ἅγιος εἶ Φιλάνθρωπε, σῶσον τῇ Σῇ ἰσχύϊ, λαὸν καὶ ποίμνην Σὴν Δέσποτα.

Θεοτοκίον.

Ἐκ τῶν τῆς Ἄγαρ νῦν υἱῶν, ἐκλυτρωθῆναι τοὺς πίστει προσεδρεύοντας τῷ θείῳ ναῷ Σου, καὶ πάντων συμφορῶν ἀπάλλαξον Μητρόθεε, ὡς παῤῥησίαν ἔχουσα πρὸς τὸν Υἱόν Σου καὶ Κύριον.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἰαμάτων φωστῆρες θαυματουργοί, καὶ θαυμάτων λαμπτῆρες φωταγωγοί, πᾶσιν ἀνεδείχθητε τῇ τοῦ Πνεύματος χάριτι, τῶν γὰρ παθῶν τὴν φλόγα, τῇ πίστει δροσίζοντες, τῶν πιστῶν ἐν ταύτῃ τὸ φρόνημα θάλπετε· ὅθεν ἰατρεῖον, τῶν ψυχῶν κεκτημένοι, τὸν θεῖον ναὸν ὑμῶν, Ἡλιόφωτοι ἔνδοξοι, τοῖς ἐν πίστει προστρέχουσι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν Βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, ἐν φωναῖς μεγαλύνωμεν, καὶ ὑμνοῦντες βοήσωμεν· ἡ τῆς χάριτος αἰτία, Παρθένε πανύμνητε, τοὺς τιμῶντάς Σε σῶζε, καὶ σκέπε πρεσβείας Σου, ἐκ πειρασμῶν παντοίων, καὶ νόσων καὶ θλίψεων· ἔχεις γὰρ ὡς μήτηρ τοῦ Θεοῦ παῤῥησίαν, οἰκτείρειν καὶ διδόναι, νοσημάτων τὴν ἴασιν, διὰ τοῦτο βοῶμέν Σοι· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον Τόκον Σου.

ᾨδὴ δ΄. Σύ μου Χριστὲ Κύριος.

Ῥῦσαι δεινῶν καὶ συμφορῶν, καὶ τῶν θλίψεων, τὴν σὴν ποίμνην Πάτερ Ἡλιόφωτε, καὶ ἀποδίωξον νοητοὺς λύκους τε καὶ κύνας, τοὺς καταπιεῖν ἐθέλοντας αὐτήν· μεγίστην ἔχεις πρὸς Θεὸν παῤῥησίαν, τὸν δυνάμενον σώζειν τὰ σύμπαντα.

Ἵνα ὑμνῶ καὶ πόθῳ ἀνακράζω σοι, χαρμοσύνως μάκαρ Ἡλιόφωτε, τῶν μοναστῶν χαῖρε καλλονή, σὺ γὰρ τὰς ἐρήμου ἐπόλισας ἱερώτατε, καὶ πλήθη σωζομένων, τῷ Χριστῷ προσηγάγου, λατρευσάντων πιστῶς τῷ Σωτῆρι Θεῷ.

Δικαστικῶν σὺ προβλημάτων περιΐστασο, τὴν τοῦ Λόγου σάρκωσιν μακάριε, διαπρέπουσι ἀναφωνῶν, καὶ τὴς ἀθεΐας ἀπομαραίνων τὸ φρύαγμα, καὶ πάντας ἀδιστάκτως, μελωδεῖν ἐκδιδάσκων, τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Θεοτοκίον.

Σῶσον κἀμὲ τὸν πίστει ἀνακράζοντα, Σῇ τῇ μόνῃ μεγίστῃ μεσίτριᾳ, ἁμαρτανόντων πρὸς τὸν Θεόν, καὶ τὰ γραμμάτεια τῶν μολυσμῶν μου ἐξάλειψον Παρθένε Θεοτόκε, παῤῥησίαν ὡς ἔχουσα, καὶ γὰρ δύνασαι, Μῆτερ ἀπείρανδρε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ὄλβος Πάτερ ἐδόθης, καὶ πνευματικὸν ἰατρεῖον Ἀμμώνιε, τοῖς νοσοῦσιν ὥσπερ, τὰς ἰάσεις ὡς νάματα βρύεις γὰρ ἐκ τῶν σῶν λειψάνων, καὶ εὐωδίαν ἀναπέμπεις, τοῖς ἐν πίστει τιμῶσι τὴν μνήμην σου.

Νέαν ἔδειξεν τρῖβον Πάτερ, τοῖς νοσοῦσι τὴν ἄνω φέρουσαν, καὶ στρατεἰαν ὥσπερ ἐπιζήμιον καταλελοίπατε, καὶ τὸν κόσμον πάντα καὶ Χριστῷ προσκολληθέντες, παρ' Αὐτοῦ τοὺς στεφάνους ἐδέξασθε.

Συνῶν θείαις χορείαις, καὶ συναυλιζόμενος Ἐπαφρόδιτε, τοῦ Θεοῦ τὸ κάλλος, καθαρῶς ἐποπτεύεις τὸ ἄῤῥητον, ἡμῶν τῶν σῶν δούλων ἐπιτελούντων τὴν σὴν μνήμην, μνημονεύων μὴ παύσῃ δεόμεθα.

Θεοτοκίον.

Κλῖμαξ ἣν εἶδε πάλαι Ἰακώβ, ὁ μέγιστος ἐν Πατριάρχαις Ἁγνή, ὑψουμένην ἄνω ἀπὸ γῆς πρὸς οὐράνια Δέσποινα, Σὺ ὑπάρχεις ὄντως· ὁ γὰρ Θεὸς ἐν Σοὶ σκηνώσας, πρὸς ἡμᾶς καταβέβηκεν Ἄχραντε.

ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἡμέρα φωτοειδής, ἡμῖν ἐπέστη ἡ μνήμη σου, ἐκπέμπουσα φωτισμόν, σοφὲ Ἡλιόφωτε, τοῖς λειψάνοις ψαύουσιν, ἀσθενεῖ τῇ πίστει, τοῖς Σοῖς Πάτερ ἱερώτατε.

Ναμάτων ζωοποιῶν, ἐμφορηθεὶς Μάρτυς ἔνδοξε, καταγλυκαίνεις ψυχῶν, ἡμῶν αἰσθητήρια, τῶν πόθῳ προστρεχόντων, τῷ σεπτῷ λειψάνῳ, σοῦ θεόφρον Ἐπαφρόδιτε.

Ὁ τῶν Κυπρίων λαός, πανηγυρίζει φαιδρότατα, συμπαριστάμενος νῦν, τῇ σορῷ των θείων λειψάνων σου, δεχόμενος ἰαμάτων χάριν, παμμακάριστε Ἀμμώνιε.

Θεοτοκίον.

Σὺ μόνη τὴν ὑπὲρ νοῦν, κυοφορίᾳ Σου Ἄχραντε, τὰ διεστῶτα τὸ πρίν, εἰς ἕν ἐπανήγαγες· καὶ γὰρ τὸν

ποιήσαντα πάντα, ὑπὲρ λόγον καὶ διάνοιαν γεγέννηκας.

Κοντάκιον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Μαρτύρων τοῦ Χριστοῦ, τὴν πεντάριθμον δόξαν, ὑμνήσωμεν πιστοί, εὐφημίαν ἀσμάτων, Ἡλιόφωτον, Ἀμμώνιον, Ἐπαφρόδιτον, Χουλέλαιον καὶ Εὐσθένιον· οὗτοι ἤθλησαν, μέχρι τομῆς καὶ θανάτου, οὗτοι στέφανον τῆς ἀφθαρσίας λαβόντες, αἰτοῦσι σωθῆναι ἡμᾶς.

Ὁ Οἶκος.

Τῶν ἀθλοφόρων τὴν ἄθλησιν, τὰ παλαίσματα καὶ τὸν ἔνδοξον θάνατον, δεῦτε φιλέορτοι ἅπαντες, ὕμνοις ἐγκωμίων καὶ ᾠδαῖς εὐφημήσωμεν, τὴν πεντάριθμον φάλαγγα, τὸν σοφὸν Ἡλιόφωτον, καὶ τὸν θεῖον Ἀμμώνιον, σὺν τούτῳ Ἐπαφρόδιτον, ἅμα Χουλελαίῳ καὶ Εὐσθενίῳ τῷ καὶ νέῳ πεφηνότι, ὅτι πᾶσαν τῶν Ἑλλήνων ἀπετέφρωσαν μανίαν, καθομολογοῦντες Χριστὸν Θεόν, μέγαν πρὸ τῶν αἰώνων βασιλεύοντα, σὺν Πατρὶ καὶ Πνεύματι· νῦν δὲ μετὰ θάνατον αἰτοῦσι σωθῆναι ἡμᾶς.

Συναξάριον.

Τῇ ΙΓ' τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων ἐνδόξων Ὁσιομαρτύρων Ἡλιοφώτου, Ἐπαφροδίτου, Ἀμμωνίου, Χουλελαίου καὶ Εὐσθενίου, τῶν Θαυματουργῶν, ἐκ τῶν ἐν Κύπρῳ 300 Ἀλαμάνων.

Στίχοι·

*Θνήσκει χορός τις πεντάριθμος ἐκ ξίφους,*

*Φρονίμων εὑρεῖν παρθένων ζωὴν θέλων.*

*Ἡλιόφωτον σὺν τέσσαρσι δεκάτῃ τρίτῃ ἔκτανε χαλκός.*

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ἐν Κύπρῳ ἐμάκρυνας, τῶν φίλων πάντων ἐπιλαθόμενος, ἔτι δὲ γεννητόρων, καὶ τὴν στρατεῖαν καὶ πλοῦτον ἐπίκηρον, καὶ τὴν πενίαν ἠσπάσω, καὶ ἔμελπες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νεῦσον ταῖς δεήσεσιν, ἡμῶν τῶν πίστει ἀνακυκλούντων τὴν σήν, πανσεβάσμιον θήκην, τῶν σῶν λειψάνων Ἡλιόφωτε ἔνδοξε, καὶ τῶν δεινῶν, σοὺς ἱκέτας ἐκλύτρωσαι, ἵνα βοῶμεν πιστῶς· εὐλογητός ὁ τῶν Πατέρων Θεός.

Μειζόνων ἠξίωσαι, τῶν χαρισμάτων Μάρτυς Ἀμμώνιε, Πνεύματος Ἁγίου· πρὸς γὰρ Χριστὸν τὸν νοῦν καθάρας καὶ τὴν διάνοιαν, καὶ σὺν Ἀγγελοις βοᾷς ἀγαλλόμενος· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Εὐρύχωρον σκήνωμα τοῦ Λόγου, μόνη τὸν Ποιητὴν τοῦ παντός, συλλαβοῦσα ἐν μήτρᾳ, λυμανθείσης τῆς παρθενίας τῆς Σῆς, διὸ καὶ χαῖρε βοῶ Σοι πανύμνητε· εὐλογημένη Σὺ ἐν γυναξὶν ὑπάρχεις Πανάμωμε.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἰδοὺ ἡμῖν ἐφέστηκεν, ἡ σή μνήμη Ἀμμώνιε, ὡς φωτοφανὴς τῆς εὐσεβείας ἥλιος, ἀκτῖνας ἐκπέμπουσα, τὰς τῶν θαυμάτων Μάρτυς τῶν σῶν, καὶ καταφωτίζει τοὺς πιστῶς μελωδοῦντας· λαὸς ὑπερυψοῦτε Χριστόν, εἰς τοὺς αἰῶνας.

Ῥήσεσιν ἐφεπόμενος, Προφητῶν Ἀποστόλων τε, ἱεροπρεπῶς ὡς θεμιτὸν ἀνέτεινας, τὸ ὄμμα Ἡλιόφωτε, πρὸς τὴν ἀκτῖνα τῶν ἐφετῶν, τῆς τρισσοφεγγοῦς καὶ ἀρχιφώτου Τριάδος, πρὸς Ἣν ἀεὶ κραυγάζεις· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅλος δοχεῖον γέγονας, ἐνεργείᾳ τοῦ Πνεύματος· πρὸς γὰρ τὴν θεόθεν ἐμφανῶς σοι ἔλλαμψιν, ἀνέστης ἀοίδιμε, θεομιμήτως ὡς ἐφικτόν· τοῖς ὑπερκοσμίοις νῦν αὐλίζῃ Ἀγγέλοις, μεθ᾽ ὧν μέλπεις συντόνως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ταῖς ἀΰλοις τάξεσιν αὐλιζόμενος ἔνδοξε, καὶ τὸ ὀρεκτὸν καὶ ἐφετὸν ἀκρότατον, παμμάκαρ ἀπέλαυσας, καὶ σὺν Ἀγγέλοις τούτου τρυφᾷς, πρέσβευε καὶ νῦν, ὑπὲρ ἡμῶν τῶν ἐν πίστει τελούντων σου τὴν μνήμην τὴν σεπτὴν καὶ φωσφόρον, Εὐσθένιε τρισμάκαρ, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νόσος δεινὴ κατέχει με, ῥαθυμίας Πανάχραντε, τῶν ἀνομιῶν μου ταῖς σειραῖς σφιγγόμενον, οὐκ ἔχω τι πράξασθαι, ἤ πού προσφύγω πλὴν Σου Ἁγνή, λύτρωσαι τῆς τούτων ἀθυμίας με, ὅπως βοῶ Σοι

εὐχαρίστως τὸ χαῖρε τοῦ Ἀγγέλου· χαῖρε δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰδών σου τῆς καρδίας τὸ καθαρόν, ὁ εἰδῶς τῶν βροτῶν τὰ νοήματα, Χριστὸς σοφέ, καὶ στρατείας ἥρπασέ σε τῆς πρίν, καὶ κοινωνὸν ἀνέδειξε, δόξης θείας μάκαρ καὶ φωτισμοῦ, καὶ νῦν καθικετεύεις, ὑπὲρ ἡμῶν τῶν πίστει, τιμώντων μάκαρ τὴν σὴν πανήγυριν.

Κοσμήσας τῆς ψυχῆς σου τὸ εὐγενές, καὶ δακρύων κρουνοὺς κατεμάρανας, τὰς τῶν παθῶν ἀκάνθας Χουλέλαιε, καὶ σοφὸς ἐγένου μεγαλέμπορος· τὸν γὰρ μαργαρίτην τὸν νοητόν, εὗρες Χριστόν, καὶ Τούτου πρὸς τρίβους ὡδηγήθης καὶ νῦν ἡμῶν Μάρτυς μνημόνευε.

Πλουσίως διελάμψατε τῷ φωτί, τῆς Ἁγίας Τριάδος πεντάριθμοι, φωτοειδῶς περιπολευούσης τὸ τρισσὸν φῶς, καὶ δεχόμενοι χάριτι, τὰς τῆς θεοπτείας φωτοβολάς, μὴ παύσητε πρεσβεύειν, ἀφέσεως πταισμάτων, ἀξιωθῆναι τοὺς τιμῶντας ἡμᾶς.

Θεοτοκίον.

Ἥνικα ἔλθῃς κρῖναι πᾶσαν τὴν γῆν, καὶ σαλπίσῃ ὁ μέγας Ἀρχάγγελος, καὶ ποταμός, ὑπερεκχυθήσεται τοῦ πυρός, τότε Χριστέ με σύνταξον, δεξιοῖς προβάτοις, καὶ ἐξελοῦ μερίδος τῶν ἐρίφων· προβάλλομαί Σοι πρέσβυν, τὴν Σὲ τεκοῦσαν Ἀειπάρθενον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν θεῖον Ἡλιόφωτον, ἐν ὕμνοις εὐφημήσωμεν, καὶ Ἐπαφρόδιτον ἅμα, Ἀμμώνιον Χουλέλαιον, καὶ τὸν σοφὸν Εὐσθένιον, ὑπὲρ Χριστοῦ ἀθλήσαντας, καὶ ἐκτενῶς πρεσβεύοντας, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἱερὰν αὐτῶν μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι Πανάμωμε, μιᾷ δὲ τῇ ὑποστάσει, τίκτεις Θεὸν ἀποῤῥήτως, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, μέχρι σταυροῦ θελήματι, καὶ ἡμῖν χαρισάμενον, τὸν τῆς θεότητος πλοῦτον, Θεοκυῆτορ Παρθένε.

Αἶνοι. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἄνθη ὡραιότατα, ἐν τῷ λειμῶνι ἐξήνθησαν, τῶν Μαρτύρων οἱ ἔνδοξοι, τοῦ Πνεύματος πέμποντες, θείαν εὐωδίαν, εὐωδιάζοντες πιστῶς, τῶν ἐτησίαις μνήμαις τιμώντων αὐτῶν, τοὺς ἄθλους τὰ παλαίσματα, τὴν μακαρίαν τελείωσιν, δι᾽ ἧς φῶς τὸ ἀνέσπερον, κατοικοῦσι γηθόμενοι. (Δίς).

Ὁ σοφὸς Ἡλιόφωτος, ὁ στεῤῥὸς Ἐπαφρόδιτος, ὁ κλεινὸς Ἀμμώνιος, Τριάδα τὴν ἄκτιστον, καθομολογοῦντες, πόνους βαρυτάτους, καὶ ἀνενδότους αἰκισμούς, ἀνδρειοτάτῃ γνώμῃ ὑπέμειναν, καὶ νίκης τὸ διάδημα, ὡς νικηφόροι ἀπέλαβον, συμπολῖται γενόμενοι, τῶν ἀΰλων δυνάμεων.

Εὐσθένιος ὁ μέγιστος, Χουλέλαιος ὁ πανόλβιος, οἱ καλλίνικοι Μάρτυρες, αἱμάτων τοῖς ῥεύμασι, τῆς

πολυθεΐας ἔσβεσαν τὴν φλόγα, πᾶσαν κατήρδευσαν τὴν γῆν, θεογνωσίας τοῖς θείοις ῥεύμασι, καὶ ὄμβροις τῶν ἰάσεων, τῶν παθημάτων ξηραίνουσι, ποταμοὺς θείᾳ χάριτι, οἱ καλλίνικοι Μάρτυρες.

Δόξα. Ἦχος β΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν Ἀθλοφόρων, ὦ φιλέορτοι. Δεῦτε εὐφημήσωμεν αὐτοὺς μυστικῶς ἐγκωμιάζοντες· χαίροις Ἡλιόφωτε, χαίροις Ἐπαφρόδιτε, χαίροις Ἀμμώνιε, χαίροις Χουλέλαιε, χαίροις Εὐσθένιε, τήν πλάνην τῶν εἰδώλων εἰς χάρος κηρύξαντες. Διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ φωτός, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ΄ κὶ στ΄ ᾠδή.

Ἀπόστολος, ἐκ τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς (κεφ. στ΄ 10-17· ζήτει τῇ κζ΄ Κυριακῇ).

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. ζ΄ 12-2· ζῆτει τῇ 13η Ὀκτωβρίου).

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιόν...

Μεγαλυνάρια.

Ὡς ἀστὴρ ἐξέλαμψας φαεινός, ἐξ Ἀλαμανίας, Ἱερέων ἡ καλλονή, Ἡλιόφωτε μάκαρ, καὶ πάντας καταυγάζεις, τοὺς σὲ ἀνευφημοῦντας, καὶ μεγαλύνοντας.

Δόξης ἀπροσίτου μαρμαρυγαῖς, καὶ θείαις ἀκτῖσιν, ἐλλαμπόμενος Ἀθλητά, Ἐπαφρόδιτε μάκαρ, τῆς τριλαμποῦς καὶ θείας, Τριάδος ταῖς εὐχαῖς σου, ἡμᾶς καταύγασον.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς λαμπροὺς ἀγῶνας, Ἀμμωνίου τοῦ Ἀθλητοῦ, τοῦ ἐν τοῖς ἐσχάτοις, καιροῖς ἀναφανέντος, Μάρτυρος θεηγόρου, τῆς θείας πίστεως.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, ἐν ᾠδαῖς καὶ ὕμνοις, μαργαρίτην τοῦ Ἰησοῦ, τῶν Νεομαρτύρων, Χριστοῦ τὸ λαμπρὸν ἄστρον, Χουλέλαιον τὸν νέον, πιστῶν τὸ καύχημα.

Ἤνθησας ὡς ῥόδον κροκκοβαφές, Εὐσθένιε Μάρτυς, ἐν ἐσχάτοις τε τοῖς καιροῖς, καὶ εὐωδιάζεις, ὀσμαῖς τῶν σῶν χαρίτων, ἡμῶν τῶν σὲ ποθούντων, ψυχὰς καὶ σώματα.

